Si ab vnitate aliquot numeri continue proportionales fuerint: Is verò qui post vnitatem sequitur fuerit quadratus: etiam reliqui omnes quadrati erunt: & si is qui vnitatem sequitur fuerit cubus: etiam reliqui omnes erunt cubi.

Propositio 10. Theorema.

Si ab vnitate aliquot numeri proportionales fuerint: is verò qui vnitatem sequitur non fuerit quadratus: neq; quispiam insequentium quadratus erit, exceptis tertio ab vnitate & vnum intermittentibus omnibus: & si qui vnitatem sequitur non fuerit cubus: neque alius quispiam cubus erit, exceptis quarto ab vnitate & duo intermissis omnibus.

Propositio 11. Theorema.

Si ab vnitate aliquot numeri continue fuerint proportionales minor maiorem metietur per numeros, qui inter illos numeros proportionales fuerit.

Propositio 12. Theorema.

Si ab vnitate aliquot numeri proportio-

ἀνάλογον ὦσιν: ὑφ' ὅσων ἂν ὁ ἔσχατος πρώ-
των ἀριθμῶν μετρῆται, ὑπὸ τῶν αὐτῶν, καὶ
ὁ παρὰ τὴν μονάδα μετρηθήσεται.

Πρότασις ιγ. Θεώρημα.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑ-
ξῆς ἀνάλογον ὦσιν: ὁ δὲ μετὰ τὴν μονάδα
πρῶτος ᾖ, ὁ μέγιστος ὑπ' οὐδενὸς ἄλλου με-
τρηθήσεται παρὲξ τῶν ὑπαρχόντων ἐν τοῖς
ἀνάλογον ἀριθμοῖς.

Πρότασις ιδ. Θεώρημα.

Ἐὰν ἐλάχιστος ἀριθμὸς ὑπὸ πρώτων ἀ-
ριθμῶν μετρῆται, ὑπ' οὐδενὸς ἄλλου ἀριθ-
μοῦ μετρηθήσεται παρὲξ τῶν ἐξ ἀρχῆς με-
τρούντων.

Πρότασις ιε. Θεώρημα.

Ἐὰν τρεῖς ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν, ἐ-
λάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς,
δύο ὁποιοιοῦν συντεθέντες, πρὸς τὸν λοιπὸν
πρῶτοί εἰσιν.

Πρότασις ις. Θεώρημα.

Ἐὰν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους
ὦσιν, οὐκ ἔσται ὡς ὁ πρῶτος πρὸς τὸν δεύτε-
ρον: οὕτως ὁ δεύτερος πρὸς ἄλλον τινά.

Πρότα-

nales fuerint: quot extremum numerum, numeri primi metiuntur: ijdem etiam eum qui vnitatem sequitur metientur.

Propositio 13. Theorema.

Si ab vnitate aliquot numeri continue proportionales fuerint: is verò qui vnitatem sequitur fuerit primus: tum maximum numerum nullus alius numerus metietur quam qui ex numeris fuerint cum ipso proportionalibus

Propositio 14. Theorema.

Si minimum numerum primi numeri metiuntur: tum nullus alius eum metietur, præterquam qui ab initio eum metiebantur.

Propositio 15. Theorema.

Si tres numeri continuè proportionales fuerint: minimi eorum qui eandem cum eis habent proportionem duo quicunq; sunt compositi ad reliquum primi erunt.

Propositio 16. Theorema.

Si duo numeri primi inter se fuerint: non erit proportio vt primus ad secundum, ita secundus ad aliquem alium.

Πρότασις ιζ. θεώρημα.

Ἐὰν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον· οἱ δ' ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους ὦσιν· οὐκ ἔσται ὡς ὁ πρῶτος πρὸς τὸν δεύτερον· οὕτως ὁ ἔσχατος πρὸς ἄλλόν τινα.

Πρότασις ιη. πρόβλημα.

Δύο ἀριθμῶν δοθέντων, ἐπισκέψασθαι εἰ δυνατόν ἐστιν αὐτοῖς τρίτον ἀνάλογον προσευρεῖν.

Πρότασις ιθ. Πρόβλημα.

Τριῶν ἀριθμῶν δοθέντων, ἐπισκέψασθαι εἰ δυνατόν ἐστιν αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν.

Πρότασις κ. θεώρημα.

Οἱ πρῶτοι ἀριθμοὶ πλείους εἰσὶ, παντὸς τοῦ προτεθέντος πλήθους πρώτων ἀριθμῶν.

Πρότασις κα. Θεώρημα.

Ἐὰν ἄρτιοι ἀριθμοὶ ὁποσοιοῦν συντεθῶσιν, ὁ ὅλος ἄρτιός ἐστί.

Πρότασις κβ. Θεώρημα.

Ἐὰν περισσοὶ ἀριθμοὶ ὁποσοιοῦν συντεθῶσι· τὸ δὲ πλῆθος αὐτῶν ἄρτιον ᾖ, ὅλος ἄρτιος ἔσται.

Πρότα-

Propositio 17. Theorema.

Si fuerint aliquot numeri continue proportionales, & illorum extremi sint inter se primi: non erit vt primus ad secundum, ita extremus ad aliquem alium.

Propositio 18. Problema.

Duobus propositis numeris contemplari an tertius proportionalis inueniri poßit.

Propositio 19. Problema.

Tribus datis numeris contẽplari an quartus proportionalis inueniri poßit.

Propositio 20. Theorema.

Plures sunt numeri primi: quàm quæuis primorum numerorum multitudo proposita.

Propositio 21. Theorema.

Si numeri pares quotquot illorũ sint componantur: tum totus numerus erit par.

Propositio 22. Theorema.

Si numeri impares quotcunq; illorum fuerint componãtur, & par illorum fuerit multitudo: tum totus numerus par erit.

Πρότασις κγ. Θεώρημα.

Ἐὰν περισσοὶ ἀριθμοὶ ὁποσοιοῦν συντεθῶσιν: τὸ δὲ πλῆθος αὐτῶν περισσὸν ᾖ, καὶ ὅλος περισσὸς ἔσται.

Πρότασις κδ. Θεώρημα.

Ἐὰν ἀπὸ ἀρτίου ἀριθμοῦ ἄρτιος ἀφαιρεθῇ, καὶ ὁ λοιπὸς ἄρτιος ἔσται.

Πρότασις κε. Θεώρημα.

Ἐὰν ἀπὸ ἀρτίου ἀριθμοῦ, περισσὸς ἀφαιρεθῇ, καὶ ὁ λοιπὸς περισσὸς ἔσται.

Πρότασις κϛ. Θεώρημα.

Ἐὰν ἀπὸ περισσοῦ ἀριθμοῦ περισσὸς ἀφαιρεθῇ καὶ ὁ λοιπὸς ἄρτιος ἔσται.

Πρότασις κζ. Θεώρημα.

Ἐὰν ἀπὸ περισσοῦ ἀριθμοῦ ἄρτιος ἀφαιρεθῇ, ὁ λοιπὸς περισσὸς ἔσται.

Πρότασις κη. Θεώρημα.

Ἐὰν περισσὸς ἀριθμὸς ἄρτιον πολλαπλασιάσας ποιῇ τινά, ὁ γενόμενος ἄρτιος ἔσται.

Πρότασις κθ. Θεώρημα.

Ἐὰν περισσὸς ἀριθμὸς περισσὸν ἀριθμὸν πολλαπλασιάσας ποιῇ τινά, ὁ γενόμενος περισσὸς ἔσται.

πρότα-

Propositio 23. Theorema.

Si aliquot numeri impares componantur, & illorum multitudo fuerit impar: totus etiam numerus impar erit.

Propositio 24. Theorema.

Si à numero pari auferatur numerus par, etiam reliquus numerus par erit.

Propositio 25. Theorema.

Si à numero pari, numerus impar auferatur: etiam reliquus impar erit.

Propositio 26. Theorema.

Si à numero impari auferatur numerus impar: etiam reliquus par erit.

Propositio 27. Theorema.

Si à numero impari auferatur numerus par: etiam reliquus numerus impar erit.

Propositio 28. Theorema.

Si numerus impar numerum parem multiplicauerit: ac fecerit aliquem, is qui fit numerus, par erit.

Propositio 29. Theorema.

Si numerus impar numerum imparem multiplicauerit ac produxerit aliquem: is qui producitur est impar.

πρότασις λ. θεώρημα.

Ἐὰν περισσὸς ἀριθμὸς ἄρτιον ἀριθμὸν μετρῇ, καὶ τὸν ἥμισυ αὐτοῦ μετρήσει.

πρότασις λα. θεώρημα.

Ἐὰν περισσὸς ἀριθμὸς πρός τινα ἀριθμὸν πρῶτος ᾖ, καὶ πρὸς τὸν διπλάσιον αὐτοῦ πρῶτος ἔσται,

πρότασις λβ. θεώρημα.

Τῶν ἀπὸ δυάδος διπλασιαζομένων ἀριθμῶν ἀρτιάκις ἄρτιος ἐστὶ μόνον.

πρότασις λγ. θεώρημα.

Ἐὰν ἀριθμὸς τὸν ἥμισυ ἔχῃ περισσὸν, ἀρτιάκις περισσός ἐστι μόνον.

πρότασις λδ. θεώρημα.

Ἐὰν ἄρτιος ἀριθμὸς μήτε τῶν ἀπὸ δυάδος διπλασιαζομένων ᾖ, μήτε τὸν ἥμισυ ἔχῃ περισσόν: ἀρτιάκις τε ἄρτιός ἐστι: καὶ ἀρτιάκις περισσός.

πρότασις λε. θεώρημα.

Ἐὰν ὦσιν ὁποσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, ἀφαιρεθῶσι δὲ ἀπό τε τοῦ δευτέρου, καὶ τοῦ ἐσχάτου ἴσοι τῷ πρώτῳ: ἔσται ὡς ἡ τοῦ δευτέρου ὑπεροχὴ πρὸς τὸν πρῶτον, οὕτως ἡ τοῦ ἐ-

Propositio 30. Theorema.

Si numerus impar numerum parem metitur: etiam dimidium eius metietur.

Propositio 31. Theorema.

Si numerus impar ad aliquem numerum fuerit primus, & ad eius duplum primus erit.

Propositio 32. Theorema.

Numeri qui per binarium numerum duplicantur solum pariter pares sunt.

Propositio 33. Theorema.

Si numerus aliquis dimidium sui habuerit imparem: is erit pariter impar tantum.

Propositio 34. Theorema.

Si numerus par neq; ex ijs erit qui per binarium sunt duplicati: neq; ex ijs qui dimidium sui habent numerum imparem: is erit pariter par: & erit pariter impar.

Propositio 35. Theorema.

Si fuerint aliquot numeri continuè proportionales, & à secundo atq; postremo auferatur numerus, primo æqualis: tum erit vt excessus secundi ad primum, sic excessus postremi χάτου ὑπεροχὴ πρὸς τοὺς πρὸ ἑαυτοῦ ἅπαντας.

Πρότασις λϛ. θεώρημα.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἐκτεθῶσιν, ἐν τῇ διπλασίονι ἀναλογίᾳ ἕως οὗ ὁ σύμπας συντεθεὶς πρῶτος γένηται· καὶ ὁ σύμπας ἐπὶ τὸν ἔσχατον πολλαπλασιασθεὶς ποιῇ τινα ὁ γενόμενος τέλειος ἔσται.

Τέλος τοῦ ἐννάτου στοιχείου.

ΕΥΚΛΕΙΔΟΥ ΣΤΟΙΧΕΙΟΝ ΔΕΚΑΤΟΝ.

ΟΡΟΙ.

Σύμμετρα μεγέθη λέγεται, τὰ τῷ αὐτῷ μέτρῳ μετρούμενα.

Ἀσύμμετρα δὲ, ὧν μηδὲν ἐνδέχεται κοινὸν μέτρον γενέσθαι.

Εὐθεῖαι δυνάμει σύμμετροί εἰσιν, ὅταν τὰ ἀπ' αὐτῶν τετράγωνα, τῷ αὐτῷ χωρίῳ μετρῆται.

Ἀσύμμετροι δὲ, ὅταν τοῖς ἀπ' αὐτῶν τετραγώνοις, μηδὲν ἐνδέχεται χωρίον κοινὸν μέτρον γενέσθαι.

Τούτων

ſtremi ad omnes qui eum præcedunt.

Propoſitio 36. Theorema.

Si ab vnitate exponantur aliquot numeri continuè proportionales in proportione dupla: donec totus compoſitus primus fiat: & totus numerus ille in extremum multiplicatus producat aliquem: numerus qui ſit erit perfectus.

Finis Libri Noni Elementorum Euclidis.

EVCLIDIS ELEMENTORVM LIBER X.

Definitiones.

COmmẽſurabiles magnitudines illæ dicũtur eſſe, quas eadẽ menſura metitur.

Incommenſurabiles verò illæ magnitudines dicuntur: quarum nullam cõmunem menſuram contingit inuenire.

Lineæ rectæ potentia cõmenſurabiles ſunt quarum quadrata vna eademq́ ſuperficies metitur.

Lineæ verò rectæ incõmenſurabiles ſunt, quarum quadrata quæ metiatur ea, nulla inueniri poteſt.

His

Τούτων ὑποκειμένων, δείκνυται ὅτι τῇ προτεθείσῃ εὐθείᾳ ὑπάρχουσιν εὐθείαι πλήθει ἄπειροι σύμμετροί τε, καὶ ἀσύμμετροι, αἱ μὲν, μήκει καὶ δυνάμει, αἱ δὲ δυνάμει μόνον.

Καλείσθω οὖν ἡ μὲν προτεθεῖσα εὐθεῖα ῥητή. καὶ αἱ ταύτῃ σύμμετροι εἴτε μήκει, καὶ δυνάμει, εἴτε δυνάμει μόνον, ῥηταί.

Αἱ δὲ ταύτῃ ἀσύμμετροι ἄλογοι καλείσθωσαν. καὶ τὸ μὲν ἀπὸ τῆς προτεθείσης εὐθείας τετράγωνον, ῥητόν.

Καὶ τὰ τούτῳ σύμμετρα ῥητά. Τὰ δὲ τούτῳ ἀσύμμετρα ἄλογα καλείσθω, καὶ αἱ δυνάμεναι αὐτά, ἄλογοι. Εἰ μὲν τετράγωνον εἴη, αὐταὶ αἱ πλευραί, εἰ δὲ ἕτερα τινὰ εὐθύγραμμα, αἱ ἴσαι αὐτοῖς τετράγωνα ἀναγράφουσαι ἄλογον καλείσθω.

ΠΡΟΤΑΣΕΙΣ.

Πρότασις α. Θεώρημα.

Δύο μεγεθῶν ἀνίσων ἐκκειμένων, ἐὰν ἀπὸ τοῦ μείζονος ἀφαιρεθῇ μεῖζον, ἢ τὸ ἥμισυ, καὶ τοῦ καταλειπομένου, μεῖζον ἢ τὸ ἥμισυ, καὶ τοῦτο ἀεὶ γίγνηται. λειφθήσεταί τι μέγεθος, ὃ ἐστιν ἔλασσον ἐκκειμένου ἐλάσσονος μεγέθους.

Πρότα-

His sic se habentibus ostenditur quod lineæ rectæ datæ, existant aliæ lineæ rectæ innumerabiles partim cõmensurabiles, partim incommensurabiles, aliæ quidem longitudine et potentia, aliæ verò potentia tantum.

Vocetur igitur linea recta data, ῥητὴ, rationalis: quæ verò huic lineæ sunt commensurabiles, siue longitudine & potentia, siue potentia tantum: & ipsæ vocẽtur rationales.

Quæ autem huic lineæ rectæ incommensurabiles sunt, nominentur irrationales.

Quadratum etiam quod à linea proposita rationali describitur, appelletur rationale. Quæ etiam huic sunt commensurabilia nominentur rationalia. Quæ verò ei sunt incommensurabilia nominentur irrationalia aut surda. Lineæ deniq; quæ illa describunt irrationales dicantur, si sit quadratum ipsa latera sunt irrationalia, si verò aliæ figuræ rectilineæ tum lineæ quæ describunt quadrata figuris rectilineis æqualia vocentur irrationales.

Propositio 1. Theorema.

DVabus magnitudinibus inæqualibus propositis, si de maiori detrahatur plus dimidio: & rursus de reliquo iterum detrahatur plus dimidio, idq; semper fiat: relinquetur quædam magnitudo minor altera minore ex duabus propositis.

Πρότασις β. θεώρημα.

Εὰν δύο μεγεθῶν ἐκκειμένων ἀνίσων ἀνθυφαιρουμένου ἀεὶ τοῦ ἐλάσσονος ἀπὸ τοῦ μείζονος, τὸ καταλειπόμενον μηδέποτε καταμετρῇ τὸ πρὸ ἑαυτοῦ, ἀσύμμετρα ἔσται τὰ μεγέθη.

Πρότασις γ. πρόβλημα.

Δύο μεγεθῶν συμμέτρων δοθέντων, τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον εὑρεῖν.

Πρότασις δ. πρόβλημα.

Τριῶν μεγεθῶν συμμέτρων δοθέντων, τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον εὑρεῖν.

Πρότασις ε. θεώρημα.

Τὰ σύμμετρα μεγέθη πρὸς ἄλληλα λόγον ἔχει, ὃν ἀριθμὸς πρὸς ἀριθμόν.

Πρότασις ς. θεώρημα.

Εὰν δύο μεγέθη πρὸς ἄλληλα, λόγον ἔχῃ ὃν ἀριθμὸς πρὸς ἀριθμὸν, σύμμετρά ἐστι τὰ μεγέθη.

Πρότασις ζ. Θεώρημα.

Τὰ ἀσύμμετρα μεγέθη πρὸς ἄλληλα, λόγον οὐκ ἔχει ὃν ἀριθμὸς πρὸς ἀριθμόν.

Πρό-

Propositio 2. Theorema.

Duabus magnitudinibus propositis inæqualibus, si detrahatur semper minor de maiore, neq; residuum vnquam metiatur idquod ante se metiebatur: incommensurabiles erunt illæ magnitudines.

Propositio 3. problema.

Datis duabus magnitudinibus commensurabilibus maximam eorum cõmunem mensuram inuenire.

Propositio 4. problema.

Datis tribus magnitudinibus commensurabilibus, maximam earum communem mensuram inuenire.

Propositio 5. Theorema.

Magnitudines commensurabiles eam inter se habent proportionem, quam numerus ad numerum.

Propositio 6. Theorema.

Si duæ magnitudines eam habeant proportionem quam numerus ad numerũ: illæ sunt cõmensurabiles.

Propositio 7. Theorema.

Magnitudines incõmensurabiles eam non habent inter se proportionem quam numerus ad numerum.

Πρότασις η̅. θεώρημα.

Ἐὰν δύο μεγέθη πρὸς ἄλληλα λόγον μὴ ἔχῃ ὃν ἀριθμὸς πρὸς ἀριθμόν, ἀσύμμετρα ἔσται τὰ μεγέθη.

Πρότασις θ. θεώρημα.

Τὰ ἀπὸ τῶν μήκει συμμέτρων εὐθειῶν τετράγωνα, πρὸς ἄλληλα λόγον ἔχει ὃν τετράγωνος ἀριθμὸς, πρὸς τετράγωνον ἀριθμόν, καὶ τὰ τετράγωνα, τὰ πρὸς ἄλληλα λόγον ἔχοντα, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμὸν, καὶ τὰς πλευρὰς ἕξει μήκει συμμέτρους, τὰ δὲ ἀπὸ τῶν μήκει ἀσυμμέτρων εὐθειῶν τετράγωνα πρὸς ἄλληλα, λόγον οὐκ ἔχει ὅνπερ τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. καὶ τὰ τετράγωνα τὰ πρὸς ἄλληλα λόγον μὴ ἔχοντα ὅνπερ τετράγωνος ἀριθμὸς, πρὸς τετράγωνον ἀριθμὸν, οὐδὲ τὰς πλευρὰς ἕξει μήκει συμμέτρους.

Πόρισμα.

Καὶ φανερὸν ἔσται ἐκ τῶν δεδειγμένων ὅτι αἱ μήκει σύμμετροι πάντως καὶ δυνάμει. αἱ δὲ δυνάμει σύμμετροι, οὐ πάντως καὶ μήκει, καὶ

Propositio 8. Theorema.

Si duæ magnitudines non habuerint eam proportionem, quam numerus ad numerum, incommensurabiles illæ erunt.

Propositio 9. Theorema.

Quadrata quæ describuntur à rectis lineis longitudine commensurabilibus, inter se proportionem habent quam numerus quadratus ad numerum quadratum. Et quadrata habentia proportionem inter se quam quadratus numerus ad quadratum numerum, habebunt etiam latera longitudine commensurabilia. Quadrata verò quæ describuntur à lineis rectis longitudine incommensurabilibus proportionem non habent inter se quam quadratus numerus ad numerum quadratum: & quadrata non habentia proportionem inter se quã quadratus numerus ad quadratũ neq; latera habebunt longitudine cõmensurabilia.

Corollarium.

Ex iam demonstratis manifestum est lineas longitudine commensurabiles, omnino potentia quoq; esse cõmensurabiles. Quæ verò κει, καὶ αἱ μήκει ἀσύμμετροι, οὐ πάντως καὶ δυνάμει ἀσύμμετροι, αἱ δὲ δυνάμει ἀσύμμετροι, πάντως καὶ μήκει.

Πρότασις ι. θεώρημα.

Ἐὰν τέσσαρα μεγέθη ἀνάλογον ᾖ, τὸ δὲ πρῶτον τῷ δευτέρῳ σύμμετρον ᾖ, καὶ τὸ τρίτον τῷ τετάρτῳ σύμμετρον ἔσται. κἂν τὸ πρῶτον τῷ δευτέρῳ ἀσύμμετρον ᾖ, καὶ τὸ τρίτον τῷ τετάρτῳ ἀσύμμετρον ἔσται.

Πρότασις ια. πρόβλημα.

Τῇ προτεθείσῃ εὐθείᾳ προσευρεῖν δύο εὐθείας ἀσυμμέτρους τὴν μὲν μήκει μόνον τὴν δὲ καὶ δυνάμει.

Πρότασις ιβ. θεώρημα.

Τὰ τῷ αὐτῷ μεγέθει σύμμετρα καὶ ἀλλήλοις ἐστὶ σύμμετρα.

Πρότασις ιγ. θεώρημα.

Ἐὰν ᾖ δύο μεγέθη, καὶ τὸ μὲν σύμμετρον ᾖ τῷ αὐτῷ τὸ δὲ ἕτερον ἀσύμμετρον, ἀσύμμετρα ἔσται τὰ μεγέθη.

Πρότασις ιδ. θεώρημα.

Ἐὰν

tentia sunt commensurabiles non omnino lõgitudine quoq; commensurabiles sunt: & quæ longitudine incommensurabiles sunt, non omnino potentia etiam incommensurabiles esse: quæ verò potentia incommẽsurabiles sunt omnino etiam longitudine quoq; incommensurabiles esse.

Propositio 10. Theorema.

Si quatuor magnitudines fuerint proportionales, prima verò secũdæ fuerit cõmensurabilis, tertia quoq; quartæ commensurabilis erit. Quod si prima secundæ fuerit incommensurabilis, tertia quoq; quartæ erit incommensurabilis.

Propositio 11. problema.

Propositæ lineæ rectæ (quæ nominata est ῥητὴ) inuenire duas lineas rectas incommensurabiles, hanc quidẽ longitudine tantum, illam verò non longitudine tantum, sed etiam potentia incommensurabilem.

Propositio 12. Theorema.

Magnitudines quæ eidem magnitudini sunt commensurabiles: inter se quoq; commensurabiles sunt.

Propositio 13. Theorema.

Si fuerint duæ magnitudines, & altera eidem sit commensurabilis, altera verò incommẽsurabilis, illæ magnitudines incommensurabiles erunt:

Propositio 14. Theorema.

Ἐὰν ᾖ δύο μεγέθη σύμμετρα, τὸ δ' ἕτερον αὐτῶν μεγέθει τινὶ ἀσύμμετρον ᾖ, καὶ τὸ λοιπὸν τῷ αὐτῷ ἀσύμμετρον ἔσται.

Πρότασις ιε. θεώρημα.

Ἐὰν τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσιν, δύνηται δὲ ἡ πρώτη τῆς δευτέρας μεῖζον, τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει, καὶ ἡ τρίτη τῆς τετάρτης μεῖζον δυνήσεται, τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει, καὶ ἐὰν ἡ πρώτη τῆς δευτέρας μεῖζον δύνήσεται, τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει, καὶ ἡ τρίτη τῆς τετάρτης μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει.

Πρότασις ις. Θεώρημα.

Ἐὰν δύο μεγέθη σύμμετρα συντεθῇ, καὶ τὸ ὅλον ἑκατέρῳ αὐτῶν, σύμμετρον ἔσται, κἂν τὸ ὅλον ἑνὶ αὐτῶν σύμμετρον ᾖ, καὶ τὰ ἐξ ἀρχῆς μεγέθη σύμμετρα ἔσται.

Πρότασις ιζ. θεώρημα.

Ἐὰν δύο μεγέθη ἀσύμμετρα συντεθῇ, καὶ τὸ ὅλον ἑκατέρῳ αὐτῶν ἀσύμμετρον ἔσται. κἂν τὸ ὅλον ἑνὶ αὐτῷ ἀσύμμετρον ᾖ, καὶ τὰ ἐξ ἀρχῆς μεγέθη ἀσύμμετρα ἔσται.

Πρότα-

Si fuerint duæ magnitudines commensurabiles, & altera illarum alteri cuipiam magnitudini sit incommensurabilis, etiam reliqua magnitudo eidem incommensurabilis erit.

Propositio 15. Theorema.

Si quatuor lineæ rectæ proportionales fuerint, possit autem prima plusquam secunda tanto quantũ est quadratum lineæ sibi commensurabilis longitudine: tertia plus poterit quàm quarta tanto quantum est quadratum lineæ sibi commensurabilis longitudine. & si prima plus potest quàm secunda tanto quantum est quadratum lineæ sibi incommensurabilis longitudine etiam tertia plus potest quàm quarta tanto quantum est quadratum lineæ sibi incommensurabilis longitudine.

Propositio 16. Theorema.

Si duæ magnitudines commensurabiles componantur, tota magnitudo composita singulis partibus commensurabilis erit. Quod si tota magnitudo composita, alterutri parti commensurabilis fuerit: illæ duæ partes commensurabiles erunt.

Propositio 17. Theorema.

Si duæ magnitudines incommensurabiles componantur, ipsa tota magnitudo singulis partibus componentibus incommensurabilis erit. Quod si tota alteri parti fuerit incõmensurabilis, illæ quoq; primæ magnitudines inter se incommensurabiles erunt.

Πρότασις ιη. Θεώρημα.

Ἐὰν ὦσι δύο εὐθεῖαι ἄνισοι, τῷ δὲ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἐλάσσονος ἴσον παραλληλόγραμμον παρὰ τὴν μείζονα παραβληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ καὶ εἰς σύμμετρα αὐτὴν διαιρεῖ μήκει, ἡ μείζων τῆς ἐλάσσονος μεῖζον δυνήσεται, τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. καὶ ἐὰν ἡ μείζων τῆς ἐλάσσονος μεῖζον δύνηται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει, τῷ δὲ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἐλάσσονος ἴσον παραλληλόγραμμον παρὰ τὴν μείζονα παραβληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ, εἰς σύμμετρα αὐτὴν διαιρεῖ μήκει.

Πρότασις ιθ. Θεώρημα.

Ἐὰν ὦσι δύο εὐθεῖαι ἄνισοι, τῷ δὲ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἐλάσσονος ἴσον παρὰ τὴν μείζονα παραβληθῇ, ἐλλεῖπον εἴδει τετραγώνῳ, καὶ εἰς ἀσύμμετρα αὐτὴν διαιρῇ μήκει, ἡ μείζων τῆς ἐλάσσονος, μεῖζον δυνήσεται, τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, καὶ ἐὰν ἡ μείζων τῆς ἐλάσσονος μεῖζον δυνήσεται, τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, τῷ δὲ τετάρτῳ τοῦ ἀπὸ τῆς ἐλάσσονος, ἴσον παρὰ τὴν μείζονα παραβληθῇ

Propositio 18. Theorema.

Si fuerint duæ rectæ lineæ inæquales, & quartæ parti quadrati quod describitur à minore æquale parallelogrammon applicetur secundum maiorem, ex qua maiore tantum excurrat extra latus parallelogrammi, quantum est alterum latus ipsius parallelogrammi. Si præterea parallelogrammon sui applicatione diuidat lineam illam in partes inter se cōmensurabiles longitudine: illa maior linea tanto plus potest quàm minor, quantum est quadratum lineæ sibi cōmensurabilis longitudine. Quod si maior plus possit quàm minor, tanto quantum est quadratum lineæ sibi commensurabilis longitudine: & præterea quartæ parti quadrati lineæ minoris æquale parallelogrammon applicetur secundum maiorem, ex qua maiore tantum excurrat extra latus parellelogrammi, quantum est alterum latus ipsius parallelogrammi parallelogrammum sui applicatione diuidit maiorem in partes inter se longitudine commensurabiles.

Propositio 19. Theorema.

Si fuerint duæ lineæ rectæ inæquales, quartæ autem parti quadrati lineæ minoris æquale parallelogrammum secundum lineam maiorem applicetur, ex qua linea tantum excurrat extra latus parallelogrammi, quantum est alterum latus eiusdem parallelogrammi: si parallelogrammum præterea sui applicatione diuidat lineam in partes se longitudine incommensurabiles, maior illa linea tanto plus potest quàm minor: quantum est quadratum lineæ sibi maiori incommen-

βληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ, εἰς ἀσύμμετρα αὐτὴν διαιρεῖ μήκη.

Πρότασις κ. Θεώρημα.

Τὸ ὑπὸ ῥητῶν μήκη συμμέτρων κατά τινα τῶν προειρημένων τρόπον εὐθειῶν περιεχόμενον ὀρθογώνιον, ῥητόν ἐστιν.

Πρότασις κα. Θεώρημα.

Ἐὰν ῥητὸν παρὰ ῥητὴν παραβληθῇ, πλάτος ποιεῖ ῥητὴν καὶ σύμμετρον, τῇ παρ᾽ ἣν παράκειται μήκει.

Πρότασις κβ. Θεώρημα.

Τὸ ὑπὸ ῥητῶν δυνάμει μόνον συμμέτρων εὐθειῶν, περιεχόμενον ὀρθογώνιον, ἄλογόν ἐστι, καὶ ἡ δυναμένη αὐτὸ, ἄλογός ἐστι, καλείσθω δὲ μέση.

Λῆμμα.

Ἐὰν ὦσι δύο εὐθεῖαι, ἔστιν ὡς ἡ πρώτη πρὸς τὴν δευτέραν, οὕτως τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ὑπὸ τῶν δύο εὐθειῶν.

Πρότασις κγ. Θεώρημα.

Τὸ ἀπὸ

commensurabilis longitudine: quod si maior linea tanto plus possit quam minor, quantum est quadratum lineæ commensurabilis sibi longitudine, & præterea quartæ parti quadrati lineæ minoris æquale parallelogrammum applicetur secundum maiorem, ex qua tantum excurrat extra latus parallelogrammi: quantum est alterum latus ipsius: parallelogrammũ sui applicatione diuidit maiorem in partes inter se incommensurabiles longitudine.

Propositio 20. Theorema.

Rectangulum quod lineis rectis rationalibus longitudine commensurabilibus secundum vnum aliquem ex prædictis modum continetur rationale est.

Propositio 21. Theorema.

Si rationale secundum lineam rationalem applicetur, habebit alterum latus lineam rationalem & commensurabilem longitudine lineæ cui, rationale parallelogrammon applicatur.

Propositio 22. Theorema.

Rectangulum quod continetur duabus lineis rectis rationalibus potentia tantum commensurabilibus irrationalis est linea autem, quæ illud potest irrationalis & ipsa est vocetur vero medialis.

Lemma.

Si sint duæ lineæ rectæ erit vt prima ad secundã ita quadratum quod à prima describitur ad rectangulum quod duabus illis rectis continetur.

Propositio 23. Theorema.

Quadra-

Τὸ ἀπὸ μέσης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ῥητὴν, καὶ ἀσύμμετρον, τῇ παρ' ἣν παράκειται μήκει.

Πρότασις κδ. Θεώρημα.

Η τῇ μέσῃ σύμμετρος, μέση ἐστὶν.

Πρότασις κε. Θεώρημα.

Τὸ ὑπὸ μέσων μήκει συμμέτρων εὐθειῶν περιεχόμενον ὀρθογώνιον, μέσον ἐστὶν.

Πρότασις κϛ. Θεώρημα.

Τὸ ὑπὸ μέσων δυνάμει μόνον συμμέτρων περιεχόμενον ὀρθογώνιον, ἤτοι ῥητὸν, ἢ μέσον ἐστὶν.

Πρότασις κζ. Θεώρημα.

Μέσον μέσου οὐκ ὑπερέχει ῥητῷ.

Λῆμμα.

Δύο ἀριθμῶν δοθέντων ἐν λόγῳ ὁποιῳοῦν, καὶ ἄλλου τινὸς, δέον ποιῆσαι ὡς τὸν ἀριθμὸν πρὸς τὸν ἀριθμὸν, οὕτως τοῦτον πρὸς ἄλλον τινά.

Πρότασις κη. πρόβλημα.

Μέσας εὑρεῖν δυνάμει μόνον συμμέτρους, ῥητὸν περιεχούσας.

Πρότασις κθ. πρόβλημα.

Μέσας εὑρεῖν δυνάμει μόνον συμμέτρους μέσον περιεχούσας.

Quadratum lineæ medialis applicatum secundū lineam rationalem alterum latus habet lineam rationalem & incommensurabilem longitudine lineæ rectæ secundum quàm applicatur.

Propositio 24. Theorema.

Recta quæ lineæ rectæ mediali commensurabilis est & ipsa medialis est.

Propositio 25. Theorema.

Rectangulum quod continetur lineis rectis medialibus longitudine commensurabilibus mediale est.

Propositio 26. Theorema.

Rectangulum quod continetur lineis rectis medialibus potentia tantum commensurabilibus vel est rationale vel mediale.

Propositio 27. Theorema.

Mediale nō est maius mediali superficie rationali.

Lemma.

Duobus numeris datis in quacunq; ratione & alio numero etiam dato efficere vt se habet numerus ad numerū, ita se habeat ille ad alium aliquem numerū.

Propositio 28. problema.

Mediales inuenire potentia tantum commensurabiles rationale comprehendentes.

Propositio 29. Problema.

Mediales inuenire potentia tantum commensurabiles mediale continentes.

Lem-

Λῆμμα.

Εὑρεῖν δύο τετραγώνους ἀριθμοὺς, ὥστε καὶ τὸν συγκείμενον, ἐξ αὐτῶν εἶναι τετράγωνον.

Λῆμμα.

Εὑρεῖν δύο τετραγώνους ἀριθμοὺς, ὥστε τὸν ἐξ αὐτὸν συγκείμενον μὴ εἶναι τετράγωνον.

Λῆμμα.

Δύο ἀριθμῶν δοθέντων καὶ εὐθείας δεῖ ποιῆσαι ὡς τὸν ἀριθμὸν, πρὸς τὸν ἀριθμὸν: οὕτως τὸ ἀπὸ τῆς εὐθείας τετράγωνον, πρὸς τὸ ἀπ' ἄλλης τινός.

Πρότασις λ. πρόβλημα.

Εὑρεῖν δύο ῥητὰς δυνάμει μόνον συμμέτρους ὥστε τὴν μείζονα τῆς ἐλάττονος μεῖζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει.

Λῆμμα.

Εὑρεῖν δύο ῥητὰς, δυνάμει μόνον συμμέτρους ὥστε τὴν μείζονα τῆς ἐλάττονος μεῖζον δύνασθαι τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει.

Λῆμμα.

Ἐὰν ὦσι δύο εὐθεῖαι ἐν λόγῳ τινὶ, ἔσται ὡς ἡ εὐθεῖα πρὸς τὴν εὐθεῖαν: οὕτως τὸ ὑπὸ τῶν δύο πρὸς τὸ ἀπὸ τῆς ἐλαχίστης.

Προτα-

Inuenire duos nūeros quadratos tales, vt qui ex ipsis compositus est sit quadratus.

Lemma.

Inuenire duos numeros quadratos tales, vt numerus ex ipsis compositus non sit quadratus.

Lemma.

Duobus numeris datis & linea recta data efficere, vt sicut numerus ad numerum, sic quadratum quod à linea describitur se habeat ad quadratum quod ab alia linea recta describitur.

Propositio 30. problema.

Duas rectas rationales potentia tantum commensurabiles inuenire: ita vt maior plus poßit quàm minor quadrato, quod describitur à linea recta longitudine sibi commensurabili.

Lemma.

Duas rationales potentia tantum cōmensurabiles inuenire, ita vt maior plus possit quam minor quadrato, quod à linea longitudine sibi incommensurabili describitur.

Lemma.

Si fuerint duæ lineæ rectæ in quadam ratione erit vt recta ad rectam: sic rectangulū quod duabus rectis continetur ad quadratū a minima descriptum.

Πρότασις λα. πρόβλημα.

Εὑρεῖν δύο μέσας δυνάμει μόνον συμμέτρους ῥητὸν περιεχούσας: ὥστε τὴν μείζονα τῆς ἐλάσσονος μεῖζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει.

Λῆμμα.

Ἐὰν ὦσι τρεῖς εὐθεῖαι ἐν λόγῳ τινί, ἔσται ὡς ἡ πρώτη πρὸς τὴν τρίτην: οὕτως τὸ ὑπὸ τῆς πρώτης καὶ μέσης πρὸς τὸ ὑπὸ τῆς μέσης καὶ ἐλαχίστης.

Πρότασις λβ. πρόβλημα.

Εὑρεῖν δύο μέσας δυνάμει μόνον συμμέτρους, μέσον περιεχούσας, ὥστε τὴν μείζονα τῆς ἐλάττονος μεῖζον δύνασθαι, τῷ ἀπὸ συμμέτρου ἑαυτῇ.

Πρότασις λγ. πρόβλημα.

Εὑρεῖν δύο εὐθείας δυνάμει ἀσυμμέτρους, ποιούσας τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ᾽ αὐτῶν τετραγώνων ῥητόν, τὸ δὲ ὑπ᾽ αὐτῶν μέσον.

Πρότασις λδ. πρόβλημα.

Εὑρεῖν δύο εὐθείας δυνάμει ἀσυμμέτρους, ποιούσας τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ᾽ αὐτῶν

τετρά-

Propositio 31. problema.

Inuenire duas mediales potentia tantum cõmensurabiles rationale continentes, ita vt maior plus posit minore: quadrato quod describitur à recta lõgitudine sibi cõmensurabili

Lemma.

Si fuerint tres lineæ in quadam ratione: erit vt prima ad tertiam sic rectangulũ quod prima & media continetur ad rectangulum quod media & maiore continetur.

Propositio 32. Problema.

Duas mediales potentia tantum commensurabiles mediale continentes inuenire ita vt maior plus posit quã minor quadrato, quod à recta sibi commensurabili describitur.

Propositio 33. Problema.

Duas rectas potentia incommensurabiles inuenire, quæ faciant compositum ex quadratis quæ ab ipsis describuntur rationale: rectangulum verò illis contentum mediale.

Propositio 34. problema.

Duas rectas potentia incommensurabiles inuenire: quæ faciant compositum ex qua-

τετραγώνων μέσον τὸ δ' ὑπ' αὐτῶν ῥητόν.

Πρότασις λε. πρόβλημα.

Εὑρεῖν δύο εὐθείας δυνάμει ἀσυμμέτρους, ποιούσας τό τε συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, καὶ τὸ ὑπ' αὐτῶν μέσον, καὶ ἔτι ἀσύμμετρον τῷ συγκειμένῳ ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων.

Πρότασις λϛ. θεώρημα.

Ἐὰν δύο ῥηταὶ δυνάμει μόνον σύμμετροι συντεθῶσιν, ἡ ὅλη ἄλογός ἐστιν, καλείσθω δὲ ἐκ δύο ὀνομάτων.

Πρότασις λζ. Θεώρημα.

Ἐὰν δύο μέσαι δυνάμει μόνον σύμμετροι συντεθῶσι ῥητὸν περιέχουσαι, ἡ ὅλη ἄλογός ἐστι, καλείσθω δὲ ἐκ δύο μέσων πρώτη.

Πρότασις λη. θεώρημα.

Ἐὰν δύο μέσαι δυνάμει μόνον σύμμετροι συντεθῶσι μέσον περιέχουσαι, ἡ ὅλη ἄλογός ἐστι, καλείσθω δ' ἐκ δύο μέσων δευτέρα.

Πρότασις λθ. Θεώρημα.

Ἐὰν δύο εὐθεῖαι δυνάμει ἀσύμμετροι συντεθῶσι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων ῥητόν, τὸ δ' ὑπ' αὐ-

τῶν

dratis ab ipsis descriptis mediale: rectangulũ verò ipsis rectis comprehensum rationale.

Propositio 35. Problema.

Duas rectas potentia incommensurabiles inuenire, quæ faciant compositum ex quadratis, quæ ab ipsis describũtur mediale: & quod ipsis continetur rectangulum mediale præterea incommensurabile composito ex quadratis quæ ab ipsis describuntur.

Propositio 36. Theorema.

Si duæ rationales potentia tantum commensurabiles componantur, tota linea recta irrationalis est vocetur autem binomium.

Propositio 37. Theorema.

Si fuerint duæ mediales potentia tantum cõmensurabiles compositæ continentes rationale tota irrationalis erit, & vocetur bimediale, aut ex dualus medialibus prima.

Propositio 38. Theorema.

Si duæ mediales potentia tantum commensurabiles componantur mediale continentes: tota irrationalis erit. vocetur autem bimediale secundum.

Propositio 39. Theorema.

Si duæ rectæ potentia commensurabiles componantur conficientes compositum ex quadratis ipsarum rationale τῶν μέσον, ἡ ὅλη εὐθεῖα ἄλογός ἐστι, καλείσθω δὲ μείζων.

Πρότασις μ. θεώρημα.

Εὰν δύο εὐθεῖαι δυνάμει ἀσύμμετροι συντεθῶσι ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δ' ὑπ' αὐτῶν ῥητὸν ἡ ὅλη εὐθεῖα ἄλογός ἐστι, καλείσθω δὲ ῥητὸν καὶ μέσον δυναμένη.

Πρότασις μα. Θεώρημα.

Εὰν δύο εὐθεῖαι δυνάμει ἀσύμμετροι συντεθῶσι, ποιοῦσαι τό τε συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, καὶ τὸ ὑπ' αὐτῶν μέσον, καὶ ἔτι ἀσύμμετρον τῷ συγκειμένῳ ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων, ἡ ὅλη εὐθεῖα ἄλογός ἐστι, καλείσθω δὲ δύο μέσα δυναμένη.

Πρότασις μβ. θεώρημα.

Η ἐκ δύο ὀνομάτων, καθ' ἓν μόνον σημεῖον διαιρεῖται εἰς τὰ ὀνόματα.

Πρότασις μγ. θεώρημα.

Η ἐκ δύο μέσων πρώτη, καθ' ἓν μόνον σημεῖον διαιρεῖται, εἰς τὰ ὀνόματα.

Πρό-

tionale & rectangulum quod illis continetur mediale tota linea recta est irrationalis, vocetur autem linea maior.

Propositio 40. Theorema.

Si duæ lineæ rectæ potentia incommensurabiles componantur conficientes compositum ex ipsarũ quadratis mediale: id verò quod sit ex ipsis rationale, tota linea est irrationalis. Vocetur autem potens rationale & mediale.

Propositio 41. Theorema.

Si duæ rectæ potentia incommensurabiles componantur conficiẽtes compositum ex quadratis ipsarum mediale: & quod continetur ex ipsis mediale: atq; præterea incommensurabilis composito ex quadratis illarum rectarum: tota linea est irrationalis, & vocetur ea potens duo medialia.

Propositio 42. Theorema.

Binomium in vnico tantum puncto diuiditur in sua nomina, id est in lineas ex quibus componitur.

Propositio 43. Theorema.

Bimediale prius in vnico tantum puncto diuiditur in sua nomina.

Πρότασις μδ. θεώρημα.

Η ἐκ δύο μέσων δευτέρα, καθ' ἓν μόνον σημεῖον διαιρεῖται εἰς τὰ ὀνόματα.

Πρότασις με. θεώρημα.

Η μείζων κατὰ τὸ αὐτὸ μόνον σημεῖον διαιρεῖται εἰς τὰ ὀνόματα.

Πρότασις μϛ. θεώρημα.

Η ῥητὸν καὶ μέσον δυναμένη, καθ' ἓν μόνον σημεῖον διαιρεῖται εἰς τὰ ὀνόματα.

Πρότασις μζ. θεώρημα.

Η δύο μέσα δυναμένη, καθ' ἓν μόνον σημεῖον διαιρεῖται, εἰς τὰ ὀνόματα.

Πρότασις μη. πρόβλημα.

Εὑρεῖν τὴν ἐκ δύο ὀνομάτων πρώτην.

Πρότασις μθ. πρόβλημα.

Εὑρεῖν τὴν ἐκ δύο ὀνομάτων δευτέραν.

Πρότασις ν. πρόβλημα.

Εὑρεῖν τὴν ἐκ δύο ὀνομάτων τρίτην.

πρότασις να. θεώρημα.

Εὑρεῖν τὴν ἐκ δύο ὀνομάτων τετάρτην.

πρότασις νβ. Θεώρημα.

Εὑρεῖν τὴν ἐκ δύο ὀνομάτων πέμπτην.

Πρότα-

Propositio 44. Theorema.

Bimediale secundũ in vnico tantum puncto diuiditur in sua nomina.

Propositio 45. Theorema.

Linea maior in vnico tantum puncto diuiditur in sua nomina.

Propositio 46. Theorema.

Linea recta potens rationale & mediale, in vnico tantum puncto diuiditur in sua nomina.

Propositio 47. Theorema.

Linea potens duo medialia in vnico tantum puncto diuiditur in sua nomina.

Propositio 48. Problema.

Inuenire binomium primum.

Propositio 49. Problema.

Inuenire binomium secundum.

Propositio 50. problema.

Inuenire binomium tertium.

Propositio 51. problema.

Inuenire binomium quartum.

Propositio 52. problema.

Inuenire binomium quintum.

πρότασις νγ. πρόβλημα.

Εὑρεῖν τὴν ἐκ δύο ὀνομάτων ἕκτην.

πρότασις νδ. θεώρημα.

Εὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων πρώτης, ἡ τὸ χωρίον δυναμένη, ἄλογός ἐστιν, ἡ καλουμένη ἐκ δύο ὀνομάτων.

πρότασις νε. θεώρημα.

Εαν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων δευτέρας, ἡ τὸ χωρίον δυναμένη. ἄλογός ἐστιν, ἡ καλουμένη ἐκ δύο μέσων πρώτη.

πρότασις νϛ. θεώρημα.

Εαν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων τρίτης, ἡ τὸ χωρίον δυναμένη, ἄλογός ἐστιν, ἡ καλουμένη ἐκ δύο μέσων δευτέρα.

Πρότασις νζ. θεώρημα.

Εαν χωρίον περιέχηται ὑπὸ ῥητῆς, καὶ τῆς ἐκ δύο ὀνομάτων τετάρτης, ἡ τὸ χωρίον δυναμένη, ἄλογός ἐστιν, ἡ καλουμένη μείζων.

Πρότασις νη. θεώρημα.

Εαν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς

ἐκ δύο

Propositio 53. problema.

Inuenire binomium ſextum.

Propoſitio 54. Theorema.

Si ſuperficies aliqua contenta fuerit rationali & binomiali primo, linea quæ illam poteſt ſuperficiem eſt irrationalis, quæ nominatur binomium.

Propoſitio 55. Theorema.

Si ſuperficies aliqua continetur rationali & binomiali ſecundo, linea, quæ illam poteſt rationalis eſt, quæ nominatur bimediale primum.

Propoſitio 56. Theorema.

Si ſuperficies continetur rationali & binomio tertio, recta quæ illam poteſt irrationalis eſt, quæ vocatur bimediale ſecundum.

Propoſitio 57. Theorema.

Si ſuperficies continetur rationali & binomio quarto, recta quæ illam poteſt irrationalis eſt, & vocatur maior.

Propoſitio 58. Theorema.

Si ſuperficies continetur rationali & binomio ἐκ δύο ὀνομάτων πέμπτης, ἡ τὸ χωρίον δυναμένη, ἄλογός ἐστιν, ἡ καλουμένη ῥητὸν καὶ μέσον δυναμένη.

Πρότασις νθ. θεώρημα.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων ἕκτης, ἡ τὸ χωρίον δυναμένη, ἄλογός ἐστιν ἡ καλουμένη δύο μέσα δυναμένη.

Πρότασις ξ. θεώρημα.

Τὸ ἀπὸ τῆς ἐκ δύο ὀνομάτων παρὰ ῥητὴν παραβαλλόμενον, πλάτος, ποιεῖ τὴν ἐκ δύο ὀνομάτων πρώτην.

Πρότασις ξα. θεώρημα.

Τὸ ἀπὸ τῆς ἐκ δύο μέσων πρώτης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων δευτέραν.

Πρότασις ξβ. Θεώρημα.

Τὸ ἀπὸ τῆς ἐκ δύο μέσων δευτέρας παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων τρίτην.

Πρότασις ξγ Θεώρημα.

Τὸ ἀπὸ τῆς μείζονος παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ, τὴν ἐκ δύο ὀνομάτων τετάρτην.

nomio quinto, recta quæ illam potest irrationalis est, quæ vocatur potens rationale & mediale.

Propositio 59. Theorema.

Si superficies continetur rationali & binomio sexto, recta quæ illã potest irrationalis est quæ vocatur potens duo medialia.

Propositio 60. Theorema.

Quadratum binomij applicatum lineæ rationali facit alterum latus binomium primũ.

Propositio 61. Theorema.

Quadratum bimedialis primi applicatum rationali alterum latus facit binomium secundum.

Propositio 62. Theorema.

Quadratum bimedialis secundi rationali applicatum, facit alterum latus binomium tertium.

Propositio 63. Theorema.

Quadratum lineæ maioris applicatum rationali: facit alterum latus binomiũ quartum.

Pro-

Πρότασις ξδ. Θεώρημα.

Τὸ ἀπὸ τῆς ῥητὸν καὶ μέσον δυναμένης παρὰ ῥητὴν παραβαλλόμενον, πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων πέμπτην.

Πρότασις ξε. Θεώρημα.

Τὸ ἀπὸ τῆς δύο μέσα δυναμένης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος, ποιεῖ τὴν ἐκ δύο ὀνομάτων ἕκτην.

Πρότασις ξϛ. Θεώρημα.

Η τῇ ἐκ δύο ὀνομάτων μήκει σύμμετρος, καὶ αὐτὴ ἐκ δύο ὀνομάτων ἐστὶ, καὶ τῇ τάξει ἡ αὐτή.

Πρότασις ξζ. Θεώρημα.

Η τῇ ἐκ δύο μέσων μήκει σύμμετρος, ἐκ δύο μέσων ἐστὶ, καὶ τῇ τάξει ἡ αὐτή.

Πρότασις ξη. Θεώρημα.

Η τῇ μείζονι σύμμετρος, καὶ αὐτὴ μείζων ἐστίν.

Πρότασις ξθ. Θεώρημα.

Η τῇ ῥητὸν καὶ μέσον δυναμένῃ σύμμετρος, καὶ αὐτὴ ῥητὸν καὶ μέσον δυναμένη ἐστιν.

προ-

Propositio 64. Theorema.

Quadratum lineæ potentis rationale & mediale, applicatum rationali: facit alterum latus binomium quintum.

Propositio 65. Theorema.

Quadratum lineæ potentis duo medialia applicatum rationali facit alterum latus binomium sextum.

Propositio 66. Theorema.

Linea longitudine commensurabilis binomio : & ipsa binomium est, & eiusdem ordinis.

Propositio 67. Theorema.

Linea longitudine commensurabilis bimediali, & ipso bimediale est, & eiusdem ordinis.

Propositio 68. Theorema.

Linea commensurabilis lineæ maiori, & ipsa maior est.

Propositio 69. Theorema.

Linea commensurabilis lineæ potenti rationale & mediale & ipsa potens rationale et mediale est.

Propo-

προτασις ο. θεώρημα.

Η τῇ δύο μέσα δυναμένῃ σύμμετρος, δύο μέσα δυναμένη ἐστίν.

προτασις οα. θεώρημα.

Ῥητοῦ καὶ μέσου συντιθεμένου, τέσσαρες ἄλογοι γίνονται, ἢ ἐκ δύο ὀνομάτων, ἢ ἐκ δύο μέσων πρώτη, ἢ μείζων, ἢ καὶ ῥητὸν καὶ μέσον δυναμένη.

Πρότασις οϐ. Θεώρημα.

Δύο μέσων ἀσυμμέτρων ἀλλήλοις συντιθεμένων, αἱ λοιπαὶ δύο ἄλογοι γίνονται, ἤτοι ἡ ἐκ δύο μέσων δευτέρα, ἢ ἡ δύο μέσα δυναμένη.

Δευτέρα τάξις ἑτέρων λόγων τῶν κατὰ ἀφαίρεσιν.

Αρχὴ τῶν κατὰ ἀφαίρεσιν ἑξάδων.

Πρότασις ογ. Θεώρημα.

Εαν ἀπὸ ῥητῆς ῥητὴ ἀφαιρεθῇ, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, ἡ λοιπὴ ἄλογός ἐστι, καλείσθω δὲ ἀποτομή.

προτα-

Propositio 70. Theorema.

Linea commensurabilis lineæ potenti duo medialia & ipsa potens est duo medialia.

Propositio 71. Theorema.

Si duæ superficies rationalis & medialis componantur, linea, quæ totam superficiem compositam potest, est vna ex quatuor irrationalibus, vel ea quæ dicitur binomium, vel bimediale primum, vel linea maior, vel linea potens rationale & mediale.

Propositio 72. Theorema.

Si duæ superficies mediales incommensurabiles componantur, fient duæ reliquæ lineæ irrationales vel bimediale secundum, vel linea potens duo medialia.

Secundus ordo alterius orationis quæ est de subtractione.

Principium senariorum per subtractionem.

Propositio 73. Theorema.

Si à rationali auferatur rationalis potentia tantum commensurabilis ipsi toti: tum reliqua irrationalis est, vocetur autem residuum.

Πρότασις οδ. Θεώρημα.

Ἐὰν ἀπὸ μέσης μέση ἀφαιρεθῇ, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ῥητὸν περιέχῃ, ἡ λοιπὴ ἄλογός ἐστι, καλείσθω δὲ μέσης ἀποτομὴ πρώτη.

πρότασις οε. θεώρημα.

Ἐὰν ἀπὸ μέσης μέση ἀφαιρεθῇ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης μέσον περιέχῃ, ἡ λοιπὴ ἄλογός ἐστι, καλείσθω δὲ μέσης ἀποτομὴ δευτέρα.

πρότασις ος. θεώρημα.

Ἐὰν ἀπὸ εὐθείας εὐθεῖα ἀφαιρεθῇ, δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν ἀπ' αὐτῶν ἅμα ῥητόν, τὸ δ' ὑπ' αὐτῶν μέσον, ἡ λοιπὴ ἄλογός ἐστι, καλείσθω δὲ ἐλάσσων.

Πρότασις οζ. θεώρημα.

Ἐὰν ἀπὸ εὐθείας εὐθεῖα ἀφαιρεθῇ δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπ' αὐτῶν ῥητόν

Propositio 74. Theorema.

Si à linea mediali auferatur medialis potentia tantum commensurabilis ipsi toti, quæ verò ablata est cum tota contineat superficiem rationalem, residua irrationalis est, vocetur autem residuum mediale primum.

Propositio 75. Theorema.

Si de linea mediali detrahatur medialis potentia tantum commensurabilis toti: quæ vero detracta est cum tota contineat superficiem medialem reliqua irrationalis est, vocetur autem residuum mediale secundum.

Propositio 76. Theorema.

Si auferatur à linea recta, quædam alia potẽtia incõmensurabilis toti, compositũ autem ex quadratis totius lineæ et lineæ ablatæ sit rationale: & quod illis continetur sit mediale, reliqua linea irrationalis erit, vocetur autem linea minor.

Propositio 77. Theorema.

Si à linea recta auferatur recta potentia incommẽsurabilis toti lineæ, compositum autem ex quadratis totius & lineæ ablatæ sit mediale, quod verò illis cõtinetur sit rationale reliqua linea irrationalis erit vo-

τὸν ἡ λοιπὴ ἄλογός ἐστι, καλείσθω δὲ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα.

Πρότασις οη. Θεώρημα.

Ἐὰν ἀπὸ εὐθείας εὐθεῖα ἀφαιρεθῇ, δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, ἔτι δὲ τὰ ἀπ' αὐτῶν τετράγωνα ἀσύμμετρα τῷ δὶς ὑπ' αὐτῶν, ἡ λοιπὴ ἄλογός ἐστι, καλείσθω δὲ ἡ μετὰ μέσου, μέσον τὸ ὅλον ποιοῦσα.

Πρότασις οθ. Θεώρημα.

Τῇ ἀποτομῇ, μία μόνον προσαρμόζει εὐθεῖα ῥητὴ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ.

Πρότασις π. Θεώρημα.

Τῇ μέσῃ ἀποτομῇ πρώτῃ μόνον μία προσαρμόζει εὐθεῖα μέση, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ: μετὰ δὲ τῆς ὅλης ῥητὸν περιέχουσα.

Πρότασις πα. Θεώρημα.

Τῇ μέσῃ ἀποτομῇ δευτέρᾳ μία μόνον προσαρμόζει εὐθεῖα μέση, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης μέσον περιέχουσα.

cetur autem linea faciens cum superficie rationali totam superficiem medialem.

Propositio 78. Theorema.

Si à linea recta auferatur recta potentia incõmensurabilis toti lineæ, compositum autem ex quadratis totius & lineæ detractæ sit mediale, quod verò illis continetur etiam sit mediale: præterea quadrata ipsarum sunt incommensurabilia ei quod illis continetur: reliqua linea irrationalis est, vocetur autem linea faciens cum superficie mediali totam superficiem medialem.

Propositio 79. Theorema.

Residuo vnica tantum linea recta coniungitur rationalis potentia tantum commensurabilis toti lineæ.

Propositio 80. Theorema.

Residuo mediali primo vnica tantum linea coniungitur medialis potentia tantum commensurabilis toti, ipsa cum tota, continens rationale.

Propositio 81. Theorema.

Residuo mediali secundo vnica tantum coniungetur medialis potentia tãtum cõmensurabilis toti, ipsa cum tota cõtinens mediale.

Πρότασις πβ. Θεώρημα.

Τῇ ἐλάσσονι μία μόνον προσαρμόζει εὐθεῖα δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ ποιοῦσα μετὰ τῆς ὅλης, τὸ μὲν ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων ῥητὸν, τὸ δὲ δὶς ὑπ' αὐτῶν μέσον.

Πρότασις πγ. Θεώρημα.

Τῇ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιούσῃ μία μόνον προσαρμόζει εὐθεῖα, δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ: μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπ' αὐτῶν ῥητόν.

Πρότασις πδ. Θεώρημα.

Τῇ μετὰ μέσου μέσον τὸ ὅλον ποιούσῃ, μία μόνον προσαρμόζει εὐθεῖα, δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ: μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπ' αὐτῶν μέσον, καὶ ἔτι ἀσύμμετρον τὸ συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν, τῷ δὶς ὑπ' αὐτῶν.

Πρότασις πε. πρόβλημα.

Εὑρεῖν τὴν πρώτην ἀποτομήν.

πρό-

Propositio 82. Theorema.

Lineæ minori vnica tantum recta coniungitur potentia incommensurabilis toti faciens cum tota compositum ex quadratis ipsarũ rationale: id verò quod illis cõtinetur mediale.

Propositio 83. Theorema.

Lineæ facienti cum superficie rationali totam superficiem medialem vnica tantũ coniungitur linea recta potentia incõmensurabilis toti: faciens autem cum tota compositum ex quadratis ipsarum mediale id verò quod fit ex ipsis rationale.

Propositio 84. Theorema.

Lineæ cum mediali superficie facienti totam superficiem medialem vnica tantum con iungitur linea potentia toti incõmensurabilis, faciẽs cum tota compositum ex quadratis ipsarũ mediale: id verò quod fit ex ipsis etiam mediale, & præterea faciens compositum ex quadratis ipsarum incõmensurabile ei quod ex ipsis fit.

Propositio 85. problema.

Primum residuum inuenire.

Πρότασις πϛ. πρόβλημα.

Εὑρεῖν τὴν δευτέραν ἀποτομήν.

Πρότασις πζ. πρόβλημα.

Εὑρεῖν τὴν τρίτην ἀποτομήν.

Πρότασις πη. πρόβλημα.

Εὑρεῖν τὴν τετάρτην ἀποτομήν.

Πρότασις πθ. πρόβλημα.

Εὑρεῖν τὴν πέμπτην ἀποτομήν.

Πρότασις ϟ. πρόβλημα.

Εὑρεῖν τὴν ἕκτην ἀποτομήν.

Πρότασις ϟα. θεώρημα.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ ἀποτομῆς πρώτης ἡ τὸ χωρίον δυναμένη, ἀποτομή ἐστιν.

Πρότασις ϟβ. θεώρημα.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ ἀποτομῆς δευτέρας, ἡ τὸ χωρίον δυναμένη μέσης ἀποτομὴ ἐστὶ πρώτη.

Πρότασις ϟγ. θεώρημα.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς, καὶ ἀποτομῆς τρίτης, ἡ τὸ χωρίον δυναμένη μέσης ἀποτομὴ ἐστὶ δευτέρα.

πρό-

Propositio 86. problema.

Secundum residuum inuenire.

Propositio 87. problema.

Tertium residuum inuenire.

Propositio 88. problema.

Quartum residuum inuenire.

Propositio 89. problema.

Quintum residuum inuenire.

Propositio 90. problema.

Sextum residuum inuenire.

Propositio 91. Theorema.

Si superficies contineatur linea rationali, & residuo primo linea quæ illam superficiem potest, est residuum.

Propositio 92. Theorema.

Si superficies contineatur linea rationali & residuo secundo, linea quæ illam superficiem potest, est residuum mediale primum.

Propositio 93. Theorema.

Si superficies continetur linea rationali, & residuo tertio, linea quæ illam superficiem potest, est residuum rationale secundum.

Πρότασις ϟδ. Θεώρημα.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς, καὶ ἀποτομῆς τετάρτης, ἡ τὸ χωρίον δυναμένη ἐλάσσων ἐστί.

Πρότασις ϟε. Θεώρημα.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ ἀποτομῆς πέμπτης, ἡ τὸ χωρίον δυναμένη ἡ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα ἐστί.

Πρότασις ϟϛ. Θεώρημα.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς, καὶ ἀποτομῆς ἕκτης, ἡ τὸ χωρίον δυναμένη μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα ἐστί.

Πρότασις ϟζ. Θεώρημα.

Τὸ ἀπὸ ἀποτομῆς παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν πρώτην.

Πρότασις ϟη. Θεώρημα.

Τὸ ἀπὸ μέσης ἀποτομῆς πρώτης, παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν δευτέραν.

Πρότασις ϟθ. Θεώρημα.

Τὸ ἀπὸ μέσης ἀποτομῆς δευτέρας παρὰ

ῥητὴν

Propositio 94. Theorema.

Si superficies continetur rationali & residuo quarto recta quæ illam potest superficiem est minor linea.

